ἐκκλησίᾳ καὶ τοῦτο τὸ μέρος ὁμογνωμονῶν, οὐκ Ἀριστοτέλης. πολλὰ δέ
γε ἐνὸν περὶ τούτου ἅτε μεγίστου τῶν ἐν φιλοσοφίᾳ δογμάτων ὄντος ἔκ
τε τοῦ αὐτοῦ Ἀριστοτέλους καὶ τῶν ἐξηγησαμένων αὐτὸν ἔκ τε Πλάτωνος
καὶ τῶν Πλατωνικῶν εἰπεῖν εἰς ταὐτὸ φέροντα, ἀρκείτω καὶ ταῦτα. οὐ
γὰρ πάντα ἡμῖν ἐκθεῖναι σκοπός — ἢ γὰρ ἂν μακρότατος ὁ λόγος ἐγίγνετο,
V58ᵛ οὗ τοὐναντίον προὐθέμεθα — ἀλλ' ὅσον τοὺς ἀκροατὰς ἀρχῶν τινων λαβο-
μένους τἄλλα εἰδεῖεν, ὅπῃ ζητοῖεν. καὶ ταῦτα μὲν ταύτῃ.

## Κεφ. η' Τίνα περὶ ψυχῆς ὁ Πλάτων ἐδόξασεν.

8,1 Νῦν δὲ περὶ ψυχῆς καὶ τῶν περὶ αὐτῆς Πλάτωνος λόγων σκεπτέον,
καὶ εἰ πλασματώδη καὶ μυθικὰ περὶ αὐτῆς εἶπεν, ὡς ὁ κατήγορος ὀνειρο-
πολεῖ, ἢ καὶ περὶ αὐτῆς ἀξίως τῆς ἑαυτοῦ μεγαλονοίας τε καὶ σοφίας
διελέξατο καὶ ὡς οὐκ ἐνῆν βέλτιον ἔκ γε τῶν ἐνδεχομένων ἄνδρα γε
Ἕλληνα μὴ τῷ φωτὶ τῆς πίστεως ὁδηγούμενον εἰπεῖν τε καὶ νοῆσαι. δυοῖν
U64 τοίνυν ὄντοιν τοῖν ἐφ' ἑκάστου τῶν ἀΰλων ζητημάτοιν, ἑνὸς μὲν τοῦ εἰ
B41ᵛ ἔστιν, ἑτέρου δὲ τοῦ τί ἐστι, καὶ διττῆς αὖ οὔσης περὶ τούτοιν ἑκατέρου
τῆς σκέψεως, τοῦ μὲν εἰ ἔστι, πότερον ἀναιτίως ἢ ἀπ' αἰτίας καὶ αὐτο-
παράγωγον ἢ ὑπὸ θεοῦ παραγόμενον ὄν, τοῦ δὲ τί ἐστι, πότερον οὐσία
ἢ συμβεβηκός, πρῶτα μὲν τὸ εἰ ἔστι ψυχὴ καὶ ἐκ θεοῦ παρῆκται δημιουρ-
γοῦ ζητητέον, εἶτα τὰ πρὸς τὸ τί ἐστιν αὐτῆς χρήσιμα σκεπτέον τοῖς κατὰ
τρόπον περὶ αὐτῆς διαλεξομένοις. καὶ πότερον ἐν οὐσίᾳ ἢ ποσῷ ἢ ποιῷ
τακτέον αὐτὴν ζητητέον. ἔπειτα μετὰ τὴν τοῦ γένους εὕρεσίν τε καὶ
διάκρισιν, ἐπειδὴ διχῶς ἕκαστον λέγεται γένος, τὸ μὲν δυνάμει, τὸ δὲ
ἐνεργείᾳ καθάπερ τὸ ζῷον καὶ τὸ φυτόν — τὸ μὲν γὰρ ᾠὸν καὶ τὸ σπέρμα
δυνάμει ζῷον καὶ φυτόν, ὁ δὲ ὄρνις καὶ τὸ δένδρον ἐνεργείᾳ — θεωρητέον
μετὰ τὴν τῆς οὐσίας αὐτῆς εὕρεσιν, εἰ ὡς δύναμίν τινα ὑποκειμένην καὶ
πρὸς οὐσίαν εὐφυῶς ἔχουσαν ἢ ὡς ἐνεργείᾳ οὖσαν αὐτὴν ὑποληπτέον.
καὶ αὖ καὶ δύναμιν αὐτῆς καὶ ἐνέργειαν σκεπτέον, πάσης οὐσίας καὶ δύνα-
μιν ἐχούσης ἑπομένην καὶ ἐνέργειαν ἅμα. καὶ ἐπεὶ τοῦ ἐμψύχου σώματος
εἶδος ἐστί, πότερον πρὸ τοῦ σώματος ἢ μετ' ἐκεῖνο ἢ ἅμα ἐκείνῳ ἐστί,
ζητητέον. καὶ εἰ πρὸ τοῦ σώματος, πότερον διαμένει μετὰ τὸ σῶμα ἢ
ἅμα αὐτῷ ἀπόλλυται. καὶ εἰ ἐπιδιαμένει, πότερον πολλὰ σώματα καὶ
V54 πολλάκις κατατρίψασα, τὸ τελευταῖον σῶμα καταλιποῦσα καὶ αὐτὴ ἀπόλλυ-
ται ἢ παντάπασιν ἀνώλεθρος καὶ ἀθάνατός ἐστι καὶ πρὸ παντὸς οὖσα
σώματος καὶ μετὰ πᾶν ἀεὶ διαμένουσα σῶμα.

2 Σκεπτέον δὲ καὶ εἰ μεριστή ἐστιν ἢ ἀμερής, καὶ εἰ μὲν μεριστὴ
φανείη, πότερον ὡς σῶμα εἰς ὄγκους ἢ ὡς τέχνη καὶ ἐπιστήμη. λέγεται
γὰρ καὶ ἰατρικῆς μέρη καὶ φιλοσοφίας. εἰ δ' ἀμερής, ἆρα παντάπασιν ἁπλῆ
τις καὶ πλήθους ἀνέκφαντος φύσις, ἢ μερῶν μὲν πλῆθος περὶ αὐτὴν οὐ
θεωρεῖται, δυνάμεων δὲ ποικιλία. διαφέρει γὰρ οὕτως ἢ ἐκείνως. μέρους
U64ᵛ μὲν γὰρ μέρος κατὰ τὸ ὑποκείμενον ἐξαλλάττει, δύναμις δὲ δυνάμεως